737 δ' οὖν ἐλθεῖν 747 Πριαμίδαισι
750 δ' ἐν τοῖς βροτοῖς 766 εὖτ' ἂν] ὅταν

---

πόλει τρέφειν nuper excluderem. Duplex in antiquis libris loci illius inventa fuit scriptura; prima haec

ΔΙΟΝΥΣΟΣ.
εὖ γ' ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;
ΑΙΣΧΥΛΟΣ.
οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.
ΔΙΟΝΥΣΟΣ.
νὴ τὸν Δία τὸν σωτῆρα δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν.
ΕΥΡΙΠΙΔΗΣ.
εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.
ΔΙΟΝΥΣΟΣ.
γέλοιον ἂν φαίνοιτο· νοῦν δ' ἔχει τίνα;
ΕΥΡΙΠΙΔΗΣ.
εἰ ναυμαχοῖεν, κᾆτ' ἔχοντες ὀξίδας
ῥαίνοιεν εἰς τὰ βλέφαρα τῶν ἐναντίων.
ΔΙΟΝΥΣΟΣ.
εὖ γ' ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.
ταυτὶ πότερ' αὐτὸς εὗρες ἢ Κηφισοφῶν;
ΕΥΡΙΠΙΔΗΣ.
ἐγὼ μόνος· τὰς δ' ὀξίδας Κηφισοφῶν.
ΔΙΟΝΥΣΟΣ.
τί δαὶ λέγεις σύ;

altera haec

ΔΙΟΝΥΣΟΣ.
εὖ γ' ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;
ΑΙΣΧΥΛΟΣ.
μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν·
ἢν δ' ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.
ΔΙΟΝΥΣΟΣ.
νὴ τὸν Δία τὸν σωτῆρα, δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν.
ΕΥΡΙΠΙΔΗΣ.
ἐγὼ μὲν οἶδα καὶ θέλω φράζειν.
ΔΙΟΝΥΣΟΣ.
λέγε.